# ΑΠΟΣΠΑΣΜΑΤΑ

## I

## ΠΡΟΣ ΑΡΙΣΤΟΓΕΙΤΟΝΑ ΚΑΙ ΑΡΧΙΠΠΟΝ

### Ὑπόθεσις
(Dion. Halic. *De Isaeo*, c. 15, p. 613-614).

Ἐν τῇ λήξει τῇ πρὸς Ἀριστογείτονα καὶ Ἄρχιππον... κλήρου τις ἀμφισβητῶν, ἀδελφὸς ὢν τοῦ τελευτήσαντος προσκαλεῖται τὸν ἔχοντα τἀφανῆ χρήματα εἰς ἐμφανῶν κατάστασιν· ὁ δὲ τοῦ κλήρου κρατῶν παραγράφεται τὴν κλῆσιν, δεδόσθαι λέγων ἑαυτῷ τὰ χρήματα κατὰ διαθήκας. Δίττης δὲ τῆς ἀμφισβητήσεως ὑπαρχούσης, ‖ τῆς μὲν περὶ τοῦ γεγονέναι τὰς διαθήκας ἢ μή, τῆς δέ, τῶν διαθηκῶν ἀμφισβητουμένων, ἤδη τίνα δεῖ τοῦ κλήρου κρατεῖν, πρῶτον ἀποδοὺς τὸν ὑπὲρ τῶν νόμων λόγον καὶ ⟨κατὰ⟩ τοῦτο ἀποδείξας τὸ μέρος, ὡς οὐ δεῖ τὸν ἐπίδικον κρατεῖσθαι κλῆρον πρὸ δίκης, οὕτως ἐπὶ τὴν διήγησιν ἔρχεται, δι᾽ ἧς ἀποδείκνυσιν οὐδὲ γεγενημένας ὑπὸ τοῦ τετελευτηκότος τὰς διαθήκας.

1 (Suidas, *s. v.* διάθεσις, t. I 1, p. 1278 ed. Bernhardy).

Μετὰ ταύτην τοίνυν τὴν ἀπόκρισιν ἑτέραν διαθήκην ἐκόμισαν, ἣν ἔφασαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id414999851/181 UNIVERSITÄT LEIPZIG